# ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

1 παυλοσ δεσμιοσ χριστου ιησου και τιμοθεοσ ο
αδελφοσ φιλημονι τω αγαπητω και συνεργω ημων
2 και απφια τη αγαπητη και αρχιππω τω συστρατιωτη
ημων και τη κατ οικον σου εκκλησια
3 χαρισ υμιν και ειρηνη απο θεου πατροσ ημων και
κυριου ιησου χριστου
4 ευχαριστω τω θεω μου παντοτε μνειαν σου
ποιουμενοσ επι των προσευχων μου
5 ακουων σου την αγαπην και την πιστιν ην εχεισ προσ
τον κυριον ιησουν και εισ πανταστουσ αγιουσ
6 οπωσ η κοινωνια τησ πιστεωσ σου ενεργησ γενηται εν
επιγνωσει παντοσ αγαθου του εν ημιν εισ χριστον ιησουν
7 χαριν γαρ εχομεν πολλην και παρακλησιν επι τη
αγαπη σου οτι τα σπλαγχνα των αγιων αναπεπαυται δια
σου αδελφε
8 διο πολλην εν χριστω παρρησιαν εχων επιτασσειν σοι
το ανηκον
9 δια την αγαπην μαλλον παρακαλω τοιουτοσ ων ωσ
παυλοσ πρεσβυτησ νυνι δε και δεσμιοσ ιησου χριστου
10 παρακαλω σε περι του εμου τεκνου ον εγεννησα εν
τοισ δεσμοισ μου ονησιμον
11 τον ποτε σοι αχρηστον νυνι δε σοι και εμοι ευχρηστον
ον ανεπεμψα
12 συ δε αυτον τουτ εστιν τα εμα σπλαγχνα προσλαβου
13 ον εγω εβουλομην προσ εμαυτον κατεχειν ινα υπερ
σου διακονη μοι εν τοισ δεσμοισ του ευαγγελιου
14 χωρισ δε τησ σησ γνωμησ ουδεν ηθελησα ποιησαι ινα
μη ωσ κατα αναγκην το αγαθον σου η αλλα κατα εκουσιον
15 ταχα γαρ δια τουτο εχωρισθη προσ ωραν ινα αιωνιον
αυτον απεχησ

16 ουκετι ως δουλον αλλ υπερ δουλον αδελφον
αγαπητον μαλιστα εμοι ποσω δε μαλλον σοι και εν σαρκι
και εν κυριω
17 ει ουν με εχεις κοινωνον προσλαβου αυτον ως εμε
18 ει δε τι ηδικησεν σε η οφειλει τουτο εμοι ελλογει
19 εγω παυλος εγραψα τη εμη χειρι εγω αποτισω ινα μη
λεγω σοι οτι και σεαυτον μοι προσοφειλεις
20 ναι αδελφε εγω σου οναιμην εν κυριω αναπαυσον
μου τα σπλαγχνα εν κυριω
21 πεποιθως τη υπακοη σου εγραψα σοι ειδως οτι και
υπερ ο λεγω ποιησεις
22 αμα δε και ετοιμαζε μοι ξενιαν ελπιζω γαρ οτι δια
των προσευχων υμων χαρισθησομαι υμιν
23 ασπαζονται σε επαφρας ο συναιχμαλωτος μου εν
χριστω ιησου
24 μαρκος αρισταρχος δημας λουκας οι συνεργοι μου
25 η χαρις του κυριου ημων ιησου χριστου μετα του
πνευματος υμων αμην

# Η Καινή Διαθήκη

# The Greek New Testament according to the Byzantine Text form. Robinson-Pierpont 2018 edition

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

Translation by: Maurice A. Robinson and William G. Pierpont

This public domain Bible translation is brought to you courtesy of eBible.org. If you would like to make a donation to help keep free Bible access like this going, please visit https://eBible.org/give.php.

2024-01-09

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 13 Jan 2024
b320f4f6-a7ea-551a-b958-9885c39d847e